AGE Unit 8 (nouns concluded) Part 1 (3rd declension nouns completed)
CLASSICAL reading

Thucydides 8.18

In his history of the Peloponnesian War (fought primarily between the πόλεις of Athens and Sparta), Thucydides documents the terms of a treaty made between the Spartans and the Persians in 412 BC. βασιλεύς here always refers to the King of Persia.

8.18 Ἐπὶ τοῖσδε ξυμμαχίαν ἐποιήσαντο πρὸς βασιλέα καὶ Τισσαφέρνην Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι.
ὁπόσην χώραν καὶ πόλεις βασιλεὺς ἔχει
καὶ οἱ πατέρες οἱ βασιλέως εἶχον,
βασιλέως ἔστω·

καὶ ἐκ τούτων τῶν πόλεων ὁπόσα Ἀθηναίοις ἐφοίτα χρήματα ἢ ἄλλο τι,
κωλυόντων κοινῇ βασιλεὺς καὶ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι
ὅπως μήτε χρήματα λαμβάνωσιν Ἀθηναῖοι μήτε ἄλλο μηδέν.

καὶ τὸν πόλεμον τὸν πρὸς Ἀθηναίους κοινῇ πολεμούντων
βασιλεὺς καὶ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι·
καὶ κατάλυσιν τοῦ πολέμου πρὸς Ἀθηναίους μὴ ἐξέστω ποιεῖσθαι,
ἢν μὴ ἀμφοτέροις δοκῇ βασιλεῖ καὶ Λακεδαιμονίοις καὶ τοῖς ξυμμάχοις.

ἢν δέ τινες ἀφιστῶνται ἀπὸ βασιλέως,
πολέμιοι ὄντων καὶ Λακεδαιμονίοις καὶ τοῖς ξυμμάχοις·
καὶ ἤν τινες ἀφιστῶνται ἀπὸ Λακεδαιμονίων καὶ τῶν ξυμμάχων,
πολέμιοι ὄντων βασιλεῖ κατὰ ταὐτά.

## VOCABULARY

**Ἀθηναῖοι** (nom pl) **Ἀθηναίοις** (dat pl)
**Ἀθηναίους** (acc pl) ὁ Athenians
**ἄλλο** (nom/acc sg) τό other
**ἀμφοτέροις** (dat pl) ὁ both
**ἀφιστῶνται** (3rd pl) rebel from
**δοκῇ** ~ δοκεῖ seem best
**εἶχον**(3rd pl) held
**ἐξέστω** let it be possible
**ἐπὶ τοῖσδε** on these (terms)
**ἐποιήσαντο** (3rd pl) made
**ἔστω** let it be
**ἐφοίτα** (3rd sg) accrued
**ἔχω** have, hold
**ἤν** ~ εἰ
**κατάλυσις –εως** ἡ truce
**κοινῇ** in common, together
**κωλυόντων** (3rd pl) Let them prevent
**Λακεδαιμόνιοι** (nom pl)
**Λακεδαιμονίων** (gen pl)
**Λακεδαιμονίοις** (dat pl) ὁ Spartans
**λαμβάνωσιν ~ λαμβάνουσιν**
**μηδέν** (nom/acc sg) τό nothing
**ξυμμαχίαν** (acc sg) ἡ alliance
**ξύμμαχοι** (nom pl) **ξυμμάχων** (gen pl)
**ξυμμάχοις** (dat pl) ὁ allies
**ὄντων** (3rd pl) let them be
**ὁπόσα** (nom/acc pl) τό however much, all that
**ὁπόσην** (acc sg) ἡ however much, all that
**ὅπως** so that
**ποιεῖσθαι** ~ ποιεῖν
**πολέμιοι** (nom pl) ὁ enemies
**πόλεμον** (acc sg) **πολέμου** (gen sg) ὁ war
**πολεμούντων** Let them make war
**ταὐτά = τὰ αὐτά**
**Τισσαφέρνην** (acc sg) ὁ Tissaphernes *(the Persian official representing Persia in this treaty)*
**τούτων** (gen pl) these
**χρῆμα –ατος τό** money, assets
**χώραν** (acc sg) ἡ territory